στασιασάντων, ἐν ταῖς ἀρχαῖς ὄντων, περὶ ἐρωτικὴν αἰτίαν. θατέρου γὰρ ἀποδημοῦντος, ἑταῖρος ὤν τις, τὸν ἐρώμενον αὐτοῦ ὑπεποιήσατο, πάλιν δ' ἐκεῖνος τούτῳ χαλεπήνας, τὴν γυναῖκα αὐτοῦ ἀνέπεισεν, ὡς αὐτὸν ἐλθεῖν. ὅθεν προσλαμβάνοντες τοὺς ἐν τῷ πολιτεύματι, διεστασίασαν πάντας. διόπερ ἀρχομένων εὐλαβεῖσθαι δεῖ τῶν τοιούτων, καὶ διαλύειν τὰς τῶν ἡγεμόνων καὶ δυναμένων στάσεις. ἐν ἀρχῇ γὰρ γίγνεται τὸ ἁμάρτημα· ἡ δ' ἀρχὴ λέγεται ἥμισυ εἶναι παντός. ὥστε καὶ τὸ ἐν αὐτῇ μικρὸν ἁμάρτημα, ἀνάλογόν ἐστι πρὸς τὰ ἐν τοῖς ἄλλοις μέρεσιν. ὅλως δ' αἱ τῶν γνωρίμων στάσεις συναπολαύειν ποιοῦσι καὶ τὴν ὅλην πόλιν· οἷον, ἐν Ἑστιαίᾳ συνέβη μετὰ τὰ Μηδικά, δύο ἀδελφῶν περὶ τῆς τῶν πατρῴων νομῆς διενεχθέντων. ὁ μὲν γὰρ ἀπορώτερος, ὡς οὐκ ἀποφαίνοντος θατέρου τὴν οὐσίαν, οὐδὲ τὸν θησαυρὸν, ὃν εὗρεν ὁ πατὴρ, προσήγετο τοὺς δημοτικούς· ὁ δ' ἕτερος, ἔχων οὐσίαν πολλὴν, τοὺς εὐπόρους. καὶ ἐν Δελφοῖς ἐκ κηδείας γενομένης διαφορᾶς, ἀρχὴ πασῶν ἐγένετο τῶν στάσεων τῶν ὕστερον. ὁ μὲν γὰρ, οἰωνισάμενός τι σύμπτωμα, ὡς ἦλθεν ἐπὶ τὴν νύμφην, οὐ λαβὼν ἀπῆλθεν· οἱ δ', ὡς ὑβρισθέντες, ἐνέβαλον τῶν ἱερῶν χρημάτων, θύοντος· κἄπειτα ὡς ἱερόσυλον ἀπέκτειναν. καὶ περὶ Μιτυλήνην δ' ἐξ ἐπικλήρων στάσεως γενομένης, πολλῶν ἐγένετο ἀρχὴ κακῶν, καὶ τοῦ πολέμου τοῦ πρὸς Ἀθηναίους, ἐν ᾧ Πάχης ἔλαβε τὴν πόλιν αὐτῶν. Τιμοφάνους γὰρ, τῶν εὐπόρων τινὸς καταλιπόντος δύο θυγατέρας, ὁ περιωσθεὶς, καὶ οὐ λαβὼν τοῖς υἱέσιν αὐτοῦ, Δόξανδρος, ἦρξε τῆς στάσεως· καὶ τοὺς Ἀθηναίους παρώξυνε, πρόξενος ὢν τῆς πόλεως. καὶ ἐν Φωκεῦσιν ἐξ ἐπικλήρου στάσεως γενομένης περὶ Μνάσεαν τὸν Μνήσωνος πατέρα, καὶ Εὐθυκράτη τὸν Ὀνομάρχου, ἡ στάσις αὕτη ἀρχὴ τοῦ ἱεροῦ πολέμου κατέστη τοῖς Φωκεῦσι. μετέβαλε δὲ καὶ ἐν Ἐπιδάμνῳ ἡ πολιτεία ἐκ γαμικῶν. ὑπομνηστευσάμενος γάρ τις θυγατέρα, ὡς ἐζημίωσεν αὐτὸν ὁ τοῦ ὑπομνηστευθέντος πατὴρ, γενόμενος τῶν ἀρχόντων, ἅτερος συμπαρέλαβε τοὺς ἐκτὸς τῆς πολιτείας, ὡς ἐπηρεασθείς· μεταβάλλουσι δὲ καὶ εἰς ὀλιγαρχίαν,

A adolescentes, qui in magistratu constituti, simultatem inter se habuerunt ex amatoria causa. altero enim absente (cùm sodalis eius esset) alter puerum, quem amabat, sibi conciliauit. at ille reuersus, cùm id grauiter ferret, vxorem illius habere studuit. ex hoc, omnes qui versabantur in republica, diuerso fauore diuerterunt. Quamobrem ab istis principiis cauẽdum est diligenter, ac dissoluendæ statim sunt eorum discordiæ, qui multum in republi-
B ca possunt. In principio enim peccatur. principium autem dicitur esse dimidium totius. itaque paruum in principio erratum, correspondens est ad alias partes. Omnino autem excellentium virorum discordiæ totam post se trahunt ciuitatem: vt contingit apud Hestiæam post popularem statum. Duobus enim fratribus de diuisione patrimonij contendentibus, vnus eorum qui erat pauperior, quasi non
C exhibente altero fratre bona omnia, neque thesaurum quem pater inuenerat, proferente, querebatur, ac populum in suos fauores pertraxerat: alter verò qui diuitiis pollebat, locupletes sibi asciuerat. Et in Delphis ex fauore partium contentione exorta, principium fuit seditionum omnium, quæ postea fuerunt in ea ciuitate secutæ. hic enim cùm sibi triste augurium incidisset, vt venit ad sponsam, su-
D scipere illam noluit. parentes verò puellæ quasi spreti atque contempti, sacrorum quiddam eo sacrificante iniecerunt, atque vt sacrilegum accusantes capite damnari fecerunt. Mitylenæ quoque seditio ex hæreditate coorta, magnorum malorum fuit origo. indéque bellum Atheniensibus contra Mitylenæos susceptum, in quo vrbs eorum à Pachete duce capta fuit. Timophane enim quodam opulento
E homine vita functo, cùm duæ filiæ superstites fuissent, Doxandrus quidam dari illas filiis in matrimonium concupiuit. quod cùm assequi non potuisset, alios sibi prælatos dolens, res nouas moliri aggressus: Atheniensibus quibus erat publicè hospes, bellum suscipere persuasit. Et apud Phocenses seditio exorta est ex hæreditate inter Mnaseam Mnasonis patrem & Euthycratem Onomarchi. hæc seditio Phocensibus initium fuit eius belli,
F quod sacrum appellauerunt. Mutatus est etiam Epidamni ciuitatis status ex nuptiis. desponderat enim quis filiam, cùm verò pater sponsi magistratum gerens illi mulctam irrogasset, quasi despectus, omnes qui præsenti ciuitatis statui infensi erant per factionem ad se recepit. Fiunt etiam mutationes & in paucorum potentia,